ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΣΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΡΟΕΔΡΙΑ ΑΡΧΑΙΟΤΗΤΟΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΟΠΕΡΤΟΣ

## Σιγγίλιον προσαρτήσεως τῆς Μπογδαριανῆς εἰς τὴν ἐπαρχίαν Βελλᾶς [2].

† *Κύριλλος ἐλέῳ Θεοῦ κτλ.*

Τοῦ νόμου, φησί, γενομένου ἐπὶ πράγματι ἀληθεῖ καὶ ὑφεστῶτι, ἰδοὺ ὅτι ἡ πονηρία κατ᾽ αὐτοῦ ἐπενοήθη· ἀλλ᾽ ὅμως μέχρι τέλους ἡ μὲν ἀλήθεια καὶ τὸ δίκαιον ὡς οὐσιώδη καὶ φύσει μόνιμα αὖθις ἀνεκλάμπουσι καὶ διαμένουσι στερεά, ἡ δὲ κακία καὶ τὸ ψεῦδος τὰ ἐπισυμβαίνοντα ὡς ἀνύπαρκτα ἀκυροῦνται καὶ ἀφανίζονται· ὅθεν καὶ μικρόν τι νέφος καλύπτειν οἶδε τὸν λαμπρότατον ἥλιον, ἀλλὰ τὸ μὲν νέφος ῥᾶστα σκεδάννυται, τὸ δὲ ἡλιακὸν φῶς φαιδρότερον ἀναλάμπει, καὶ τὴν ἑαυτοῦ ποιεῖται πορείαν ἀνεμποδίστως. Τοιοῦτόν τι συμβέβηκε κἂν τῇ παρούσῃ ὑποθέσει· τῆς γὰρ ἐπισκοπῆς Βελλᾶς ἀρχῆθεν ἐχούσης ὑποκειμένην αὐτῇ ἀνέκαθεν πρὸς ταῖς ἄλλαις καὶ τὴν χώραν *Μπογδαριανὴν* καὶ τοῦ κατὰ καιροὺς ἀρχιερέως αὐτῆς ἐν αὐτῇ εὑρισκομένου ὡς θρόνου λογιζομένης αὐτῷ, τινὲς καιροῦ δραξάμενοι πρὸ τριῶν χρόνων ἤδη ἀπέσπων αὐτὴν τῆς ὁλομελείας τῆς ἐπισκοπῆς καὶ δῆθεν ὑποτεταγμένην εἶναι τῷ μοναστηρίῳ τοῦ ὄρους Σωσίνου ἠθέλησαν, ἐξ οὗ συνέβη οὐ μόνον τὸν ἐπίσκοπον τῆς ἐπαρχίας ταύτης ἔνθεν κἀκεῖθεν φέρεσθαι καὶ παλινοστεῖν ἐν ἄλλοις τόποις ὡς στερηθέντα τοῦ διατεταγμένου θρόνου αὐτοῦ καὶ τοῦ ἐκκλησιαστικοῦ ἐκείνης εἰσοδήματος καὶ μεγάλως ἄχθεσθαι καὶ δυσχεραίνειν, ἀλλὰ καὶ τὴν ὀνομασίαν τῆς Βελλᾶς ἀπολέσαι καὶ εἰς ὀλίγον ἐρημωθῆναι αὐτὴν καὶ ἀπροστάτευτον μεῖναι καὶ δίχα ἀρχιερέως, ὅπερ μὴ ὑποφέρων ὁ χειροτονηθεὶς θεοφιλέστατος ἐπίσκοπος Βελλᾶς κὺρ *Νεόφυτος*, μετὰ τὴν καθαίρεσιν τοῦ πρότερον ἐπισκοπεύοντος ἐν αὐτῇ *Σωφρονίου* ἐξήτησεν ἀνατραπῆναι ὡς κακῶς καὶ παρὰ κανόνας προβᾶν καὶ ἀπολαῦσαι πάλιν τὴν ἐπαρχίαν αὐτοῦ καὶ τὴν ὀνομασίαν τοῦ θρόνου αὐτῆς καὶ αὐτὸν εὑρίσκεσθαι ἐν αὐτῇ καὶ οἰκεῖν καθὰ καὶ οἱ πρὸ αὐτοῦ ἀρχιερεῖς· τούτου χάριν τὴν αἴτησιν αὐτοῦ ἀποδεξάμενοι ὡς δικαίαν οὖσαν καὶ εὔλογον γνώμῃ συνοδικῇ τοῦ τε ἁγιωτάτου πάπα καὶ πατριάρχου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτοῦ τῆς οἰκουμένης κὺρ Γερασίμου καὶ τῶν ἐπὶ συστάσει τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας συνεληλυθότων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, γράφοντες διὰ τοῦ παρόντος σιγγιλιώδους γράμματος ἀποφαινόμεθα ἵνα τῶν πρὸς ἀποξένωσιν τῆς χώρας ταύτης δοθέντων γραμμάτων καὶ σιγγιλίων ἀκύρων καὶ ἀνισχύρων μενόντων καὶ εἰς οὐδὲν λογιζομένων ἡ μὲν χώρα αὕτη *Μπογδαριανὴ* καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ μετέπειτα ὑπάρχῃ ἡνωμένη τῇ

---

2) *Νομ. Συναγωγὴ* σ. 176.—*Κ. Σάθα* Μεσαιων. βιλιοθ. Γ΄. 565.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἐπαρχίᾳ Βελλᾶς ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ ὁ νῦν ἀρχιερεὺς αὐτῆς θεοφιλέστατος κὺρ Νεόφυτος καὶ οἱ κατὰ καιροὺς ἔχοντες ἐν αὐτῇ τὴν καθέδραν αὐτῶν νέμωνται καὶ καρπῶνται τὰ αὐτῆς ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελῶσι γνησίως καὶ ἐνοριακῶς κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτῶν· οἱ δὲ ἐν αὐτῇ εὑρισκόμενοι ἱερωμένοι καὶ λαϊκοὶ γινώσκοντες γνήσιον αὐτὸν ἀρχιερέα τὸν θεοφιλέστατον ἐπίσκοπον Βελλᾶς τιμῶσι καὶ ἀγαπῶσι καὶ τοῦ ὀνόματος αὐτοῦ οἱ ἱερεῖς μνημονεύωσι καὶ πείθωνται αὐτῷ καὶ ὑποτάσσωνται παρέχοντες αὐτῷ εὐγνωμόνως πάντα τὰ ἐκκλησιαστικὰ αὐτοῦ εἰσοδήματα καὶ δικαιώματα αὐτῷ μόνῳ καὶ οὐ τῷ ἡγουμένῳ τοῦ Σταυροπηγίου τοῦ Σωσίνου, οὔτε ἄλλῳ τινί, κατ' οὐδὲν ἐναντιούμενοι ἢ ἀντιλέγοντες περὶ τούτου ἐν ἀργίᾳ καὶ ἀφορισμῷ· ὃς δ' ἂν ὀψὲ ποτὲ ἀνατρέψαι θελήσῃ τὴν παροῦσαν ἀπόφασιν καὶ ὑποτάξαι τὴν χώραν αὐτὴν εἰς τὸ μοναστήριον αὐτὸ ἢ ἀλλαχοῦ καὶ ἀποξενῶσαι τῆς ἐπισκοπῆς ἢ ἄλλο τι ἐναντίον ἢ ζημίαν προξενῆσαι, ὁποίου ἂν εἴη καταλόγου, πρὸς τῇ ἀργίᾳ τῆς ἱερωσύνης ἢ ἀρχιερωσύνης αὐτοῦ ἀφωρισμένος ἔστω ἀπὸ τῆς ἁγίας ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου καὶ ἀσυγχύτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος αἰωνίως καὶ τυμπανιαῖος καὶ ἐχέτω καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν πασῶν ἁγίων οἰκουμενικῶν συνόδων· οὕτως ἀποφαινόμεθα συνοδικῶς, μὴ τολμώντων καὶ τῶν πατέρων τοῦ σταυροπηγίου τοῦ Σωσίνου ἐναντιωθῆναι περὶ τούτου ἢ καταπατεῖν τὴν χώραν αὐτὴν καὶ λαμβάνειν εἰσόδημα πολὺ ἢ ὀλίγον μὴ ἀνῆκον αὐτοῖς ἐν ἀργίᾳ ἀσυγγνώστῳ καὶ ἀφορισμῷ ἀλύτῳ τῷ ἀπὸ Θεοῦ παντοκράτορος· διὸ καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ μόνιμον τὴν ἀσφάλειαν γραφὲν καὶ κυρωθὲν καὶ τὸ παρὸν συνοδικὸν σιγγιλιῶδες γράμμα ἐπεδόθη τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Βελλᾶς κὺρ Νεοφύτῳ καὶ δι' αὐτοῦ τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Βελλᾶς.

*Ἐν ἔτει αχϛ' μηνὶ Μαΐῳ κβ'. Ἰνδικτ. ϑησ'.*

*
* *

## Πατριαρχικὴ προτροπὴ πρὸς οἰκοδομὴν ἐπισκοπικοῦ οἴκου ἐν Κονίτσῃ[3].

Τὰ καλλιεργήματα καὶ φιλοπονήματα τῶν ὀρθοδόξων χριστιανῶν, ὅσα ἐν διαφόροις καιροῖς καὶ τόποις γίνονται ἐπ' εὐλόγοις αἰτίαις, καὶ μάλι-

3) *Κωδ. Κρισίου Β'.* (τοῦ Πατρ. Ἀρχειοφ.) σ. 128.—Τὸ ἔγγραφον εὑρηται ἀτελὲς καὶ ἀχρονολόγητον.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

στα ὅσα ἀπαρτίζονται διὰ σύστασιν καὶ οἰκοδομὴν ἐκκλησιαστικῶν πραγμάτων καὶ ὑποθέσεων καὶ ἀνήκουσιν ἱερατικῇ καὶ ἀρχιερατικῇ καταστάσει, ὄχι μόνον εἶναι ἐπαινετὰ καὶ ἔνδοξα καὶ θαυμαστὰ παρὰ πᾶσιν, ἀλλὰ ἀκόμη εἶναι καὶ ψυχωφελῆ καὶ ψυχοσωτήρια, διότι ὅπου εἶναι ἀρχιερέως παρουσία καὶ κατοικία καὶ μονὴ ἥσυχος, ἐκεῖ εἶναι καὶ ἐπίσκεψις καὶ ἐπιμέλεια ψυχῶν καὶ θεάρεστος διεξαγωγὴ καὶ κυβέρνησις τῶν ἐμπολιτευομένων ἐκεῖσε ὀρθοδόξων χριστιανῶν. Ἐπειδὴ τοιγαροῦν καὶ ἐν τῇ ἐπισκοπῇ ταύτῃ καὶ ἐπαρχίᾳ Βελλᾶς μὲ τὸ νὰ μὴν ἦτο ἕως τώρα καμμία κατοικία καὶ καθέδρα τοῦ ἀρχιερέως σας διωρισμένη καὶ ξεχωριστὴ πρὸς ἀνάπαυσιν καὶ ἡσυχίαν ἐκείνου, ἠναγκάζετο νὰ περιέρχηται εἰς ἕνα μέρος καὶ ἄλλο καὶ νὰ μὴν ἀπολαμβάνῃ ἄνεσιν καὶ ἡσυχαστικὴν κατοίκησιν, καθὼς αἱ ἁπανταχοῦ ἐπαρχίαι καὶ πολιτεῖαι τῶν ὀρθοδόξων ἔχουσι διωρισμένας οἰκήσεις τοῦ ἀρχιερέως αὐτῶν, μὲ τὰς ὁποίας καὶ κοσμοῦν μάλιστα καὶ φαιδρῶς καλλωπίζονται, τινὲς τῶν αὐτόθι χριστιανῶν ὑπὸ εὐλαβοῦς καὶ χριστιανικῆς διαθέσεως κινηθέντες καὶ σκοπὸν θεάρεστον θέμενοι νὰ φέρουν εἰς ἔκβασιν ἕνα τοιοῦτον ἐπαινετὸν καὶ χριστιανικώτατον ἀποτέλεσμα, ὁποῦ νὰ εἶναι στολισμὸς καὶ εὐπρέπεια καὶ δόξα καὶ καύχημα τῆς πολιτείας ὑμῶν ταύτης, ἄλλοι μὲν ἐχάρισαν τόπον τινὰ ἁρμόδιον αὐτόθι εἰς Κόνιτζαν διὰ νὰ οἰκοδομηθῇ οἰκία τοῦ ἀρχιερέως σας, ἄλλοι δὲ ἐχάρισαν ὕλην μερικὴν διὰ τὴν οἰκοδομήν, καὶ εἰς κοντολογίαν, ἔκαμαν καλὴν ἀρχὴν καὶ συνδρομὴν καὶ βοήθειαν ἔργου θεαρέστου καὶ διὰ τοῦτο ὁ θεοφιλέστατος ἐπίσκοπος ὑμῶν κὺρ Ἰωαννίκιος βούλεται ἤδη σὺν Θεῷ νὰ ἀρχίσῃ τὴν οἰκοδομὴν ταύτην, ὥστε Θεοῦ συνεργοῦντος καὶ νὰ τὴν διεκπεράνῃ, ἡ ὁποία καθὼς εἶναι φανερὸν τοῖς πᾶσι, χρειάζεται καὶ ἀναλώματα ἱκανά, καὶ δαπάνας οὐκ ὀλίγας καὶ μὲ τὸ μὴν ἔχῃ δύναμιν ἐφ' ἑαυτοῦ νὰ ἀπαντήσῃ εἰς τὰ τοσαῦτα ἔξοδα χρειάζεται ἀναγκαίως τὴν βοήθειαν καὶ συνδρομὴν ὑμῶν τῶν λογικῶν αὐτοῦ προβάτων καὶ ὀρθοδόξων χριστιανῶν, ἡ ὁποία αὐτὴ συνδρομὴ καὶ βοήθεια ἡ ἐδική σας πρὸς τὴν θεοφιλίαν αὐτοῦ εἶναι ἀναγκαία καὶ χρειώδης καὶ πρέπουσα καὶ εὔλογος, τοῦτο μὲν διὰ τὸ ἐπαινετὸν τοῦ ἔργου τούτου καὶ ἀποτελέσματος, καθὼς εἴπομεν ἀνωτέρω, μάλιστα δὲ καὶ διὰ ἀγάπην τοῦ ἀρχιερέως ὑμῶν κὺρ Ἰωαννικίου, ὁ ὁποῖος εἶναι ἀρχιερεὺς γνήσιος καὶ ποιμὴν πνευματικὸς καὶ πατὴρ κηδεμονικὸς ὑμῶν πάντων, καὶ εἶναι κεκοσμημένος καὶ στολισμένος μὲ ὅλας τὰς θεοειδεῖς ἀρετὰς ὁποῦ ἀνήκουσιν εἰς τὸ θεῖον τῆς ἀρχιερωσύνης ἀξίωμα, τὴν εὐσέβειαν, τὴν σοφίαν, τὴν φρόνησιν, τὴν πραότητα καὶ ἀγάπην, διὰ τὰ ὁποῖά του αὐτὰ προτερήματα καὶ εἶναι ἄξιος ἀγάπης καὶ τιμῆς καὶ εὐλαβείας, συνδρομῆς τε καὶ βοηθείας. Τούτου χάριν γράφοντες παραινοῦμεν καὶ συμβουλεύομεν ὑμῖν πατριαρχικῶς καὶ πνευματικῶς πάντας ὑμᾶς, ὅπως εἰς τὸν ἐπαινετὸν καὶ χριστιανικώτατον τοῦτον σκοπὸν ὁποῦ ἐκ Θεοῦ κινηθέντες καὶ ὁδηγηθέντες τινὲς τῶν αὐτόθι χριστιανῶν, οἱ μὲν ἐχάρισαν τόπον, οἱ δὲ ὕλην μερικὴν καὶ ἄλλος ἄλλοις

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ἐσύντρεξε διὰ νὰ οἰκοδομηθῇ αὐτόθι εἰς Κόνιτσαν κατοικία καὶ δοσπήτιον διωρισμένον τοῦ ἀρχιερέως καὶ ἐπισκόπου ὑμῶν κὺρ Ἰωαννικίου κοινῶς ὅλοι καὶ οἱ ἄλλοι χριστιανοὶ τῆς ἐπαρχίας ταύτης μιμούμενοι νὰ συντρέξετε καὶ νὰ βοηθήσεσε ὁ καθεὶς μετὰ πάσης προθυμίας προσφέροντες τὴν δυνατὴν βοήθειαν καὶ ἐπικουρίαν, καθὰ δυνάμεως ἔχει καὶ ἀγαθῆς προαιρέσεως, ὥστε σὺν Θεῷ συλλήπτορι νὰ δυνηθῇ ὁ ἀρχιερεύς σας νὰ τελειώσῃ καὶ νὰ κατορθώσῃ τὴν οἰκοδομὴν ταύτην τοῦ δοσπητίου.

## Τόμος ἑνωτικὸς τῆς ἐπαρχίας Βελλᾶς καὶ Κονίτσης μετὰ τῆς μητροπόλεως Ἰωαννίνων[4].

† *Γερμανὸς ἐλέῳ Θεοῦ κλπ.*

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἐστὶν ἰδεῖν τῆς ἐκκλησιαστικῆς προνοίας τὸ ἀδιάλειπτον καὶ ἄγρυπνον καὶ οἵαν ἐν τοῖς ἐμπίπτουσι προβάλλεται τὴν οἰκονομίαν, πολλῷ δὲ μᾶλλον ἐν ταῖς ὑποκειμέναις αὐτῇ θεοσώστοις ἐπαρχίαις· ταύτας καὶ γὰρ πρὸς τὸ εὔθετον ἀείποτε ῥυθμίζειν καὶ συντάττειν εἴωθε διὰ τῶν ὑπεροχικῶν αὐτῆς προνομίων καὶ τῆς ὑπερτελεστάτης δυνάμεως σκοπὸν ἔχουσα τὸ ἄνετον τῶν ἐν αὐταῖς εὐσεβῶν καὶ τὴν θεοφιλῆ πνευματικὴν αὐτῶν ἐπίσκεψιν καὶ ψυχικὴν σωτηρίαν, τοῦτο δὲ καὶ ὁ ἀποστολικὸς ὑποτίθεται λόγος, πάντα πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν ὀφείλειν γίνεσθαι ἀποφαινόμενος· ἐπειδὴ τοίνυν καὶ ἡ ἁγιωτάτη μητρόπολις τῶν Ἰωαννίνων ὑστερεῖται ἤδη τῶν ἀναλόγων πόρων καὶ κινδυνεύει τὰ μέγιστα μὴ ἐξαρκοῦσα εἰς τὰς χρείας καὶ ἀνάγκας τοῦ ἀρχιερέως αὐτῆς καὶ τῇ ἰδίᾳ αὐτῆς θέσει ἡγεμονικῆς καθέδρας οὔσης ἁπάσης τῆς Ἠπείρου, διά τοι τοῦτο ἡ κοινὴ τροφὸς καὶ εὐεργέτις ἁγία τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία ἀξιόχρεων λαβοῦσα πρόνοιαν ὑπὲρ αὐτῆς ἔγνω ὑποστηρίξαι ταύτην καὶ ὁπωσοῦν παραμυθῆσαι μετά τινος προσφόρου τρόπου καὶ μέσου· συνοδικῶς οὖν συσκεφθεῖσα περὶ τοῦ ἀντικειμένου τούτου καὶ ἀκριβῶς πληροφορηθεῖσα, ὅτι καταλληλοτέρα τῷ σκοπῷ τούτῳ ἐστὶν ἡ ἐπαρχία τῆς Βελλᾶς καὶ Κονίτσης, ἡ προενωθεῖσα προσφάτως τῇ ἐπαρχίᾳ τῆς Πωγωνιανῆς, ὡς πλησιεστέρα τῇ μητροπόλει τῶν Ἰωαννίνων καὶ ἀναμεμιγμένας ἔχουσα τὰς ἰδίας χώρας ταῖς ἐκείνης, ἄλλως δὲ κατιδοῦσα τὴν ἕνωσιν ταύτην μετὰ τῆς ἐπαρχίας τῶν Ἰωαννίνων ἐπωφελῆ ἐσομένην καὶ τοῖς ἐγκατοίκοις ἐκκλησιαστικῶς τε καὶ πολιτικῶς· ἔγνω ἀποσπᾶσαι ταύτην ἐκ τῆς ἐπαρχίας τῆς Πωγωνιανῆς καὶ τῇ μητροπόλει τῶν Ἰωαννίνων ἑνῶσαι οὐ καινοτομοῦσα, ἀλλὰ πολλοῖς τοῖς παραδείγμασιν ἑπομένη ὅσα ἂν εὕροι τις ἐν τοῖς ἀρχείοις καὶ ἐν ταῖς τῶν καθ' ἡμᾶς χρόνων διατυπώσεσι. Τὸ μὲν γὰρ τῆς ὑπερφυοῦς δυνάμεως θεῖον καὶ ἀεὶ ὡσαύτως ἔχον πρόσεστι τοῖς

4) *Κώδ.* Π. Ἀρχ. ΚΓ' 17.

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ἀρχιερεῦσι, τὰ δὲ ὅρια καὶ αἱ τάξεις οἷα δὴ ἀνθρώπινα ἄλλοτε ἄλλως μεταβαλλόμενα, καθορᾶται διὰ τοὺς ἐνοικοῦντας χριστιανοὺς ἢ τοὺς προϊσταμένους ἀρχιερεῖς. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων τῶν ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν ἵνα τῶν προεκδεδομένων ἐκκλησιαστικῶν γραμμάτων περὶ τῆς ἑνώσεως τῆς ἐπαρχίας Βελλᾶς καὶ Κονίτσης μετὰ τῆς Πωγωνιανῆς ἀκύρων καὶ ἀνισχύρων μενόντων καὶ ὡς χάρτης ἄγραφος λογιζομένων, ἡ ῥηθεῖσα ἐπαρχία Βελλᾶς καὶ Κονίτσης μένῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἡνωμένη ἀδιαλύτως μετὰ τῆς ἐπαρχίας τῶν Ἰωαννίνων γνωριζομένης ἤδη ὑπὸ τὸ ὄνομα τῶν *Ἰωαννίνων καὶ Βελλᾶς* καὶ συνηρμοσμένη αὐτῇ μετὰ πάντων τῶν ἐνοριακῶν μοναστηρίων, χωρῶν καὶ χωρίων, κτημάτων τε πραγμάτων καὶ ἀφιερωμάτων αὐτῆς, ἰθυνομένη τε καὶ διεξαγομένη κανονικῶς ὑπό τε τοῦ ἤδη ἱερωτάτου μητροπολίτου Ἰωαννίνων καὶ Βελλᾶς κὺρ Ἰωακεὶμ καὶ τῶν μετὰ ταῦτα διαδόχων αὐτοῦ, ἔχῃ δ' ἐπ' ἀδείας ἡ αὐτοῦ ἱερότης ποιμαίνειν καὶ τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον ὥσπερ καὶ τὸ ἐν τῇ λοιπῇ ἐπαρχίᾳ τῶν Ἰωαννίνων καὶ ποδηγετῇ σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν τοὺς ἐν αὐτῇ εὐλογημένους χριστιανοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν κυριαρχικῶς καὶ ὡς ἀναλαβὼν καὶ ὅλον τὸ ἀναλογοῦν ταύτῃ τῇ ἐπαρχίᾳ αὐλικὸν χρέος ὂν δεκαεννέα χιλιάδες γρόσια καὶ τὸ σύνηθες ἐτήσιον ζητομήριον, καρποῦσθαι δὲ καὶ ἀπολαμβάνειν ἀπαραμειώτως καὶ ἀνελλιπῶς πάντα τὰ ἐκ τῆς ἐπαρχίας ταύτης ἀνήκοντα αὐτῷ εἰσοδήματα καὶ δικαιώματα κύριά τε καὶ τυχηρά. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ Βελλᾶς καὶ Κονίτσης ἱερωμένοι καὶ λαϊκοὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι τῇ αὐτοῦ ἱερότητι ὡς πνευματικῷ αὐτῶν προστάτῃ καὶ κυριάρχῃ καὶ παρέχειν πάντα τὰ ἀνήκοντα αὐτῷ εἰσοδήματα καὶ δικαιώματα κύριά τε καὶ τυχηρὰ μετ' εὐπειθείας καὶ προθυμίας μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος τὸ παράπαν. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ παράστασιν μόνιμον ἀπελύθη καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς Τόμος κἀν τῷ ἱερῷ καταστρωθεὶς κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ἐδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Ἰωαννίνων καὶ Βελλᾶς ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἠπείρου καὶ Κερκύρας ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Ἰωακείμ.

*Ἐν ἔτει σωτηρίῳ αωμβ'*

† *Ὁ Πατριάρχης Κωνσταντινουπόλεως* ἀποφαίνεται

† Ὁ Ἡρακλείας *Διονύσιος*, † Ὁ Νικομηδείας *Διονύσιος*

† Ὁ Χαλκηδόνος *Ἱερόθεος*, † Ὁ Μαρωνείας *Ἄνθιμος*

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

## Τόμος ἀνακαλῶν τὴν ἐπαρχίαν Βελλᾶς καὶ Κονίτσης εἰς τὴν προτέραν αὐτῆς ἐπισκοπικὴν τάξιν[5].

† *Ἰωακείμ, ἐλέῳ Θεοῦ κλπ.*

Ἐπειδὴ ἡ ἁγιωτάτη ἐπισκοπὴ Βελλᾶς καὶ Κονίτσης ἡ ἀνέκαθεν ὑποτελοῦσα καὶ ὑποκειμένη τῇ ἁγιωτάτῃ μητροπόλει Ἰωαννίνων πρὸ χρόνων τινῶν λόγοις προνοίας τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας ἐφ' ἑτέραν τῆς ἧς διατετύπωται διοίκησιν μετηνέχθη· κατὰ γὰρ τὸ παρεληλυθὸς αωλδον σωτήριον ἔτος ἀρχιερατεύοντος ἐν αὐτῇ τοῦ μακαρίου Βελλᾶς Ἰωσὴφ ἑνωθείσης αὐτῇ τῆς ἐπαρχίας Πωγωνιανῆς, ὡς ἀδυνάτως ἐχούσης συντηρεῖν ἴδιον ἀρχιερέα, προήχθη εἰς μητρόπολιν, ἁπλῇ καὶ μόνῃ ἐκκλησιαστικῇ φιλοτιμίᾳ, καὶ ἐλπίδι τοῦ ἀναδειχθῆναι ἀμφοτέρας εἰς μητρόπολιν λαμπρὰν καὶ ἀρίζηλον διὰ τῆς ἑνώσεως ταύτης, καθὰ διαλαμβάνει ὁ τότε ἐκδοθεὶς Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος. Ἀκολούθως δὲ κατὰ τὸ αωμβ΄. σωτήριον ἔτος ὅτε, τῆς ἡμῶν μετριότητος διϊθυνούσης, ἐλέῳ Θεοῦ, τὴν πνευματικὴν προστασίαν τῆς ἐπαρχίας Ἰωαννίνων, ἡ Ἐκκλησία κατεῖδεν ἀναγκαῖον ἐνισχῦσαι καὶ ἐπιρρῶσαι τὴν μητρόπολιν ταύτην, ἐν στερήσει πόρων διακειμένην ἐκ καιρικῶν τότε περιστάσεων, καὶ συγκροτῆσαι ἀναλόγως τῇ θέσει αὐτῆς, οἷα καθέδρας καὶ κέντρου οὔσης ἁπάσης τῆς Ἠπείρου, ἡ ῥηθεῖσα ἐπαρχία Βελλᾶς ἀποσπασθεῖσα τῆς Πωγωνιανῆς συνήνωται δι' ἑτέρου ἐκκλησιαστικοῦ Τόμου τῇ μητροπόλει ταύτῃ Ἰωαννίνων, ἧτινι καὶ δικαιοτέροις λόγοις ἀνῆκεν ἡ προσάρτησις αὐτῆς, ὡς ἰδίου οἱονεὶ μέλους καὶ πράγματος αὐτῆς θεωρουμένης διὰ τῆς ἀνέκαθεν ἐν ἐπισκοπῆς τάξει ὑποταγῆς αὐτῆς. Τότε μὲν οὕτως αἱ καιρικαὶ περιστάσεις καὶ τὰ πράγματα ὑπηγόρευσαν, τῆς ἐκκλησιαστικῆς προνοίας πρὸς τὸ βέλτιον ἀεὶ ἀφορώσης ἐπὶ εὐσταθίᾳ τῶν εἰρημένων παροικιῶν καὶ ὠφελείᾳ τῶν ἐγκατοίκων χριστιανῶν. Ἐπειδὴ δὲ ἤδη τὰ κατὰ τὴν μητρόπολιν Ἰωαννίνων χάριτι Θεοῦ εἰς ἀρίστην κατάστασιν προὐχώρησαν, ἡσυχίᾳ καὶ εὐημερίᾳ καὶ πληθύϊ κατοίκων ἀκμάζοντα, ὥστε δύνασθαι ἀνέτως εἰσπράττειν τὸ διὰ τῶν νέων Κανονισμῶν ὁρισθὲν ποσὸν τῆς ἐτησίας ἀρχιερατικῆς ἐπιχορηγήσεως, οὐχ ἧττον δὲ καὶ ἡ ἐπαρχία Βελλᾶς ἔκτασιν ἱκανὴν ἔχουσα, καὶ κατοίκων χριστιανῶν εὐμοιροῦσα, οὐ μὴν δὲ ἀλλὰ καὶ ἐπὶ τῆς ἤδη ἀποφανθείσης δι' ἐκκλησιαστικοῦ Τόμου καταργήσεως τῆς τέως ὑπαρξάσης μητροπόλεως Πωγωνιανῆς, προσεπαυξηθεῖσα τῇ προσθήκῃ ἱκανῶν, ἤτοι τῶν ἐν τῷ καζᾷ Πωγωνιανῆς, Ὀστανίτζας, Διπαλίτζας, Βλάχους, Βαλοβίστα καὶ Μπογωνιτζκὸν καὶ τῶν ἐν τῷ καζᾷ Κονίτζης, Σανοβόν, Μάζου, Δερβένι, Πιλθοῦκι, Κούκεσι, Μπομπίτζικον, Λεσκοβίκι, Τζάρτζικον, Μελεσίνι,

---

5) *Κώδ.* Π. Ἀρχ. ΚΘ΄. 141.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

Σεργιανί, Περάτι, Μελισσόπετρα καὶ Πιροβίτζκα, ἀρκούντως ἂν ἔχοι εἰς ἀπότισιν τῆς ὁρισθησομένης ἀναλόγου ἐπιχορηγήσεως, ἴδιον ἀπολαβοῦσα ἀρχιερέα, ὅπερ καὶ δίκαιον καὶ ἀναγκαιότατον προφανῶς. Ἐκτὸς γὰρ τῆς ἐπὶ τὴν προτέραν αὐτῆς τάξιν νομίμου ἐπανακλήσεως, εἰς ἣν οὐδεὶς τό γε νῦν ἐπιπροσθεῖ περιστάσεων λόγος, καὶ αὐτὰ τὰ πνευματικὰ συμφέροντα τῶν ἐπαρχιωτῶν χριστιανῶν ἐναπαιτεῖ ὁμολογουμένως τὸν διορισμὸν ἰδίου αὐτῶν ἀρχιερέως, διὰ τὸ μὴ δύνασθαι ἐπαρκεῖν ἐν ἀμφοτέραις ταῖς ἐπαρχίαις τὸν κατὰ καιροὺς μητροπολίτην Ἰωαννίνων πρὸς τὴν θεάρεστον καὶ ἀκαταιτίατον αὐτῶν διακυβέρνησιν, μηδὲ δύνασθαι προφθάνειν ταῖς πνευματικαῖς ἀνάγκαις τοσούτων χριστιανῶν καὶ κατὰ διαστάσεις μακρὰς ἐπιβλέπειν καὶ κήδεσθαι τῇ αὐτοπροσώπῳ αὐτοῦ παρουσίᾳ καὶ τακτικῇ κατ' ἔτος περιοδείᾳ ἀναγκαιοτάτῃ τὰ μάλιστα ἐν ταῖς παρούσαις περιστάσεσιν, ἔτι δὲ καὶ ὑπὸ τῶν Κανονισμῶν ἐπιβαλλομένῃ. Ἔνθεν τοι τῶν λόγων τούτων προτεθέντων καὶ συζητηθέντων μετά τε τῆς περὶ ἡμᾶς Ἱερᾶς καὶ Ἁγίας Συνόδου καὶ τοῦ Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου, δέδοκται κοινῇ ἁπάντων γνώμῃ διαλυθῆναι καὶ καταργηθῆναι τὴν πρὸ εἰκοσαετίας, ὡς εἴρηται, φθάσασαν γενέσθαι ἕνωσιν τῆς ἐπαρχίας ταύτης Βελλᾶς μετὰ τῆς μητροπόλεως Ἰωαννίνων, ἐπανακληθῆναι δὲ αὐτὴν εἰς ἣν ἄνωθεν καὶ ἐξ ἀρχῆς διατετύπωται λαχοῦσα τάξιν, ἀναδεικνυομένην δηλ. Ἐπισκοπήν, ὡς τὸ πρότερον, ἀποτελοῦσαν καὶ ὑποκειμένην τῇ μητροπόλει Ἰωαννίνων, καὶ διϊθυνομένην ὑπὸ ἰδίου κανονικῶς ἐν αὐτῇ ἀποκαθισταμένου Ἐπισκόπου, κατοχυρωθῆναι δὲ τὴν ἐκκλησιαστικὴν ταύτην ἀπόφασιν διὰ Πατριαρχικοῦ ἡμῶν καὶ Συνοδικοῦ Τόμου εἰς αἰωνίαν καὶ διηνεκῆ ἔνδειξιν. Ὅθεν καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοῦ προεκδοθέντος τῷ αωμβ'. ἔτει ἐκκλησιαστικοῦ Τόμου ἀπρακτοῦντος, καὶ ἀκύρου μένοντος καὶ ἀνισχύρου, ἡ ῥηθεῖσα ἐπαρχία Βελλᾶς ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς ἔλαχε διατυπωθεῖσα ἐν τῇ τῶν Ἐπαρχιῶν τάξει, ἤτοι ἐπισκοπὴ ὑποκειμένη καὶ διατελοῦσα εἰς αἰῶνα τὸν ἅπαντα ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Ἰωαννίνων, συγκεκροτημένη μεθ' ὧν τε ἀπ' ἀρχῆς κέκτηται, καὶ τῶν ἤδη ἀπὸ τῆς διαλυθείσης μητροπόλεως Πωγωνιανῆς προστεθέντων καὶ προσηλωθέντων αὐτῇ χωρίων, καὶ οἱ κατὰ καιροὺς ἀρχιερεῖς αὐτῆς καλῶνται καὶ φημίζωνται καὶ ὑπογράφωνται *ἐπίσκοποι Βελλᾶς καὶ Κονίτσης* διατηρουμένων ὑπ' αὐτῶν κανονικῶν καθηκόντων πρὸς τοὺς κατὰ καιρὸν μητροπολίτας Ἰωαννίνων ὡς γνησίους αὐτῶν κυριάρχας, κατὰ τὰς ἐπὶ πάντων τῶν ἐπισκοπικῶν θρόνων κειμένας καὶ ἐνεργουμένας ἐκκλησιαστικὰς τάξεις. Ἐφ' ᾧ καὶ ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος κατέστρωται ἐν τῷ ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

*Ἐν ἔτει σωτηρίῳ αωξγ' κατὰ μῆνα Μάϊον ἐπινεμήσεως ΣΓ'*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

† ὁ *Πατριάρχης Κωνσταντινουπόλεως* ἀποφαίνεται

† ὁ Ἐφέσου *Παΐσιος*, † ὁ Ἡρακλείας † ὁ πρόεδρος Καρπάθου *Μελέτιος*, † ὁ Λαρίσης *Στέφανος*, † ὁ Ἄρτης *Σωφρόνιος*, † ὁ Μιτυλήνης *Μελέτιος*, † ὁ Μελενικίου *Διονύσιος*, † ὁ † ὁ
† ὁ Βελεγράδων *Ἄνθιμος*, † ὁ Γρεβενῶν *Ἀγάπιος*, † ὁ Σισανίου *Μελέτιος*.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τόμος προαγωγῆς τῆς ἐπισκοπῆς Βελλᾶς καὶ Κονίτσης εἰς μητρόπολιν[6].

† *Ἄνθιμος, ἐλέῳ Θεοῦ κλπ.*

Ἔργον προνοίας ἐκκλησιαστικῆς ἀνωμολόγηται τὰ τῶν ἐπαρχιακῶν διοικήσεων ὅρια ρυθμίζειν ἔστιν ὅτε κατὰ τὰς ἀναφερομένας ἀνάγκας τῶν εὐσεβῶν χριστιανῶν, τοῦτο γάρ ἐστι χρεὼν ἁπάντων ἱερώτατον τῶν παρὰ τῆς θείας Προνοίας διαπεπιστευμένων τὴν πνευματικὴν ποιμαντορίαν καὶ διακυβέρνησιν τῶν λογικῶν προβάτων τῆς ἁγίας ποίμνης τοῦ Θεανθρώπου Σωτῆρος ἡμῶν ὀφειλόντων λόγον αὐτῷ δοῦναι ὑπὲρ αὐτῶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὥς φησιν ὁ θεῖος Ἀπόστολος. Τοιαύτης τοίνυν καὶ τηλικαύτης οὔσης καὶ παρὰ πάντων ἀναγνωριζομένης τῆς εὐθύνης τῶν ἀνειληφότων τὴν διεύθυνσιν καὶ σωτηρίαν τῶν ἀνθρωπίνων ψυχῶν, ἀνάλογος ἀείποτε καταβλητέα ἐστὶν ἡ μέριμνα καὶ φροντὶς παρὰ τῆς κοινῆς τῶν εὐσεβῶν Μητρὸς τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας μὴ διαλειπούσης ἑκάστοτε τὰ προσήκοντα λαμβάνειν μέτρα πρός τε οἰκοδομὴν τῶν πιστῶν καὶ πρὸς ἀνυσιμωτέραν προστασίαν καὶ ὑπεράσπισιν τῶν ἐπαρχιακῶν καὶ κοινοτικῶν αὐτῶν συμφερόντων. Αὐτὸ δὴ τοῦτο ἔχει τὸ σκοπούμενον καὶ ὁ ἐφεξῆς λόγος. Καὶ γὰρ ἀφ' ἱκανοῦ ἤδη χρόνου παρατηρηθέντος, ὅτι πολλῶν καὶ σπουδαίων ἕνεκα λόγων ἡ ἁγιωτάτη Ἐπισκοπὴ Βελλᾶς, διά τε τὸ ἐπίκαιρον τῆς θέσεως αὐτῆς, διὰ τὴν ἔκτασιν τῆς ἀπαρτιζούσης αὐτὴν χώρας καὶ διὰ τὴν πυκνότητα τοῦ πληθυσμοῦ, σπουδαῖον ἀποτελεῖ κέντρον ἐν τῇ Ἠπείρῳ καὶ ὅτι μεγίστη ἀποδεικνύεται ἡ ἀνάγκη ὅπως ἡ ἐκκλησιαστικὴ αὐτῆς διοίκησις ἀπαλλαγῇ τῶν παντοίων κωλυμάτων, ἅτινα συναπάγεται ἡ ἐξάρτησις αὐτῆς ἀπὸ τῆς ἱερᾶς μητροπόλεως Ἰωαννίνων, σκέψεως περὶ τούτου ἔναγχος ἐν τῇ περὶ ἡμᾶς Ἱερᾷ Συνόδῳ γενομένης ἐνεκρίθη κοινῇ, ἵνα ἡ διαληφθεῖσα Ἐπισκοπὴ ἀποσπωμένη τέλεον ἀπὸ τῆς ἱερᾶς μητροπόλεως Ἰωαννίνων προαχθῇ εἰς μητρόπολιν ἐξαρτωμένην ἀπὸ τοῦ ἡμετέρου Ἀποστολικοῦ Οἰκουμενικοῦ καὶ Πατριαρχικοῦ Θρόνου ὑπὸ τὴν προσωνυμίαν *ἱερὰ μητρόπολις Βελλᾶς καὶ Κονίτσης*, περιλαμβάνουσαν δὲ πάσας τὰς πόλεις, κωμοπόλεις, χωρία καὶ ἱε-

---

6) *Κώδ.* ΞΖ'. σ. 489.

Ε.Τ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ρὰς ἐνοριακὰς Μονὰς τὰς ἀπαρτιζούσας τὴν τέως ἐπισκοπὴν Βελλᾶς. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ τέως ἐπισκοπὴ Βελλᾶς διὰ τοὺς προεκτεθέντας ἀποχρῶντας λόγους ὑπάρχῃ ἀπὸ τοῦδε καὶ λέγηται καὶ παρὰ πάντων γιγνώσκηται μητρόπολις τοῦ καθ' ἡμᾶς Ἁγιωτάτου Οἰκουμενικοῦ Θρόνου, αὐτῷ μόνον ὑποκειμένη κανονικῶς καὶ πρὸς αὐτὸν σχέσιν καὶ ἀναφορὰν ἔχουσα, ὁ δὲ ἐν αὐτῇ ἀρχιερατεύων κύριος Βασίλειος τιτλοφορῆται *Ἱερώνυμος μητροπολίτης Βελλᾶς καὶ Κονίτσης καὶ ὑπέρτιμος*, καθάπερ καὶ οἱ τοῦτον διαδεξόμενοι, μνημονεύων ὡς νενόμισται τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος καὶ συναριθμούμενος ἑβδομηκοστὸς ὄγδοος τῇ τάξει ἐν τῇ χορείᾳ τῶν λοιπῶν ἱερωτάτων μητροπολιτῶν, οἷος καὶ ἐν τῷ Συνταγματίῳ ἐγγέγραπται, ἔχων ἅμα αὐτός τε καὶ οἱ τούτου διάδοχοι τὴν στάσιν καὶ ἕδραν τὴν ὁρισθεῖσαν αὐτῷ ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσι καὶ χοροστασίαις, ποιμαίνων θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογῶν καὶ ἁγιάζων αὐτό, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελῶν καθήκοντα μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ Συνθρόνῳ ἐγκαθιδρύσεως. Ὀφείλουσι δὲ πάντες οἱ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ διατελοῦντες εὐλογημένοι χριστιανοὶ ἱερωμένοι τε καὶ λαϊκοὶ ἀναγνωρίζειν τὴν αὐτοῦ ἱερότητα μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως ταύτης, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ, ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ, ἐν καιρῷ τῶν ἔργων ἀνταποδόσεως. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς· εἰς ἔνδειξιν δὲ ἐγένετο ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος καταστρωθεὶς καὶ ἐν τῷ τῆς καθ' ἡμᾶς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἱερῷ τῶν ὑπομνημάτων Κώδικι, ἀντίγραφον δὲ αὐτοῦ ἀπεστάλη καὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Βελλᾶς καὶ Κονίτσης, ἀγαπητῷ ἡμῖν ἐν Χριστῷ ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Βασιλείῳ.

*Ἐν ἔτει σωτηρίῳ αφμε' κατὰ μῆνα Ἰούνιον. Ἐπινεμήσεως Η'.*

† *Ὁ Πατριάρχης Κωνσταντινουπόλεως* ἀποφαίνεται

† Ὁ Κυζίκου *Νικόδημος*, † Ὁ Νικομηδείας *Φιλόθεος*, † Ὁ Νικαίας *Ἱερώνυμος*, † Ὁ Προύσης *Ναθαναήλ*, † Ὁ Αἴνου *Λουκᾶς*, † Ὁ Μηθύμνης *Νικηφόρος*, † Ὁ Βελεγράδων *Δωρόθεος*, † Ὁ Γρεβενῶν *Κλήμης*, † Ὁ Ἐλασσῶνος *Νικόδημος*, *Δοσίθεος* ἀναφερόμενος τῷ 1546 [7].

---

7) *Α. Κεραμέως*, Μαυρογέν. βιβλιοθ. Α' σ. 12.—Acta et Diplomata monast. et ecclesiarum Orientis ὑπὸ Miklosich-Müller vol. V. p. 238.

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

*Ἀντώνιος*, κατὰ Ἰανουάριον 1565[8].

*Μανασῆς*, τῷ 1604[9].

*Ἰωάσαφ*, κατὰ Μάρτιον καὶ Σ/βρ. 1610 καὶ Δ/βρ. 1620[10].

*Σωφρόνιος*· τούτου «καθαιρέσει τελείᾳ καθυποβληθέντος διὰ τὸ φανῆναι ἅπαξ καὶ δὶς καὶ πολλάκις ἀπειθῆ καὶ παρήκοον καὶ μὴ θέλοντά ποτε παρασχεῖν τὰ τῆς Μ. Ἐκκλησίας δικαιώματα, ὡς καὶ οἱ λοιποὶ τῶν ἀρχιερέων, καὶ καταφρονῆσαι ἀργίαν...»—ἐξελέγη (Μάϊος 1626) «ὁ ἀπὸ ἁγίας Ἀναστασίας ἐκ χώρας Βελιτζίστα ἱερομόναχος κὺρ *Νεόφυτος*»[11].

*Παρθένιος*, τῷ 1640[12].

*Φιλάρετος*, τέλη ιζ' ἢ ἀρχὰς ιη' αἰῶνος[13].

*Ἰωαννίκιος*, προαχθεὶς εἰς μ/λιν Ναυπάκτου καὶ Ἄρτης κατὰ Δ/βριον 1722[14].

*Νικόδημος*, ἀναφερόμενος κατὰ Μάϊον 1760[15].

*Θεοδόσιος*, προαχθεὶς εἰς τὴν μ/λιν Λαρίσσης κατὰ Μάρτιον 1818[16].

*Ἰωσήφ*, ὅστις «προστασίᾳ καὶ ἐπεμβάσει τοῦ Ἀλῆ Πασᾶ εἰσεπήδησεν εἰς τὴν ἐπισκοπὴν Βελλᾶς, παροραθέντων ἀξιωτέρων», ὡς ἔγραφεν αὐτῷ ὁ Π/χης Χρύσανθος ἀπὸ 4 8/βρίου 1824[17].

«Τῆς ἁγιωτάτης μ/λεως Βελλᾶς καὶ Πωγωνιανῆς ἀπροστατεύτου διαμεινάσης, ἅτε δὴ τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος κὺρ *Ἰωσήφ*, ἐκπτώτου ἀπ' αὐτῆς γενομένου οὐ μόνον διὰ τὴν ἀφ' ἱκανοῦ ἀπουσίαν του ἀπὸ τῆς ἐπαρχίας του ταύτης καὶ τὴν στέρησιν τῶν χριστιανῶν του ἀπὸ τῆς πνευματικῆς αὐτοῦ ἐπισκέψεως καὶ διὰ τὴν ἐπιδειχθεῖσαν ἐν τῷ μεσολαβήσαντι καιρῷ ἀπείθειάν του εἰς τὰς πολλάκις καὶ ἄλλοτε γενομένας αὐτῷ ἐπιταγὰς περὶ τῆς ἀπὸ Βουκουρεστίου ἀποχωρήσεως αὐτοῦ καὶ ἐπιστροφῆς εἰς τὴν θέοθεν ἐμπεπιστευμένην αὐτῷ ἐπαρχίαν ταύτην, καὶ θερμὴν αἴτησιν μάλιστα τῶν εὐλογημένων χριστιανῶν του ζητούντων ἐπιμόνως τὰ τῆς ἐπιστροφῆς ἢ τὰ τῆς ἀντικαταστάσεως ἄλλου ποιμένος ἢ ἡνωμένως πάλιν ἢ διῃρημένως καὶ λαμβανόντων ἀείποτε ὑποσχέσεις παρὰ τῆς

---

8) *Μ. Σάρδεων Γερμανοῦ* συμβολὴ κλπ. σ. 38.—L e Quien II 144.

9) *Κώδ. Π.* Ἀρχ. Α' 21.

10) *αὐτόθι* σ. 39, 103.—*Νομ. Συναγ.* 190.

11) *Κώδ.* Π. Ἀρχ. Λ' 168.—*Ν. Συν.* 309.—*Σάθα* Γ' 565.

12) *Κώδ.* Α' 375, 387.

13) *Δελτίον* ἱστορ. καὶ ἐθνολ. ἑταιρείας τόμ. Γ' σ. 474.

14) *Κώδ.* Κριτίου Β' 123, ὡς ἀνωτέρω. — *Ρωμανὸς ὁ Μελῳδός*, θρησκευτικὸν περιοδικὸν 1933, τόμ. Α' σ. 193, 200, 236.—Ὁ L e Quien II 144 ἀναφέρει *Νικόλαον* τῷ 1720. Πιθανῶς πρόκειται περὶ λάθους, ἐφ' ὅσον ὁ *Ἰωαννίκιος* ἀναφέρεται καὶ πολὺ πρὸ τοῦ 1722 (ὅρα *Ἠπειρ. Χρον.* Ε' 94).

15) *Ἠπειρ. Χρον.* Ε' 79.

16) *Κώδ.* Π. Ἀρχ. Θ' 391.

17) *Κώδ.* ΙΕ' 229.—*Κ. Δελικάνη* Πατρ. ἔγγραφα τόμ. Γ' 546, 550, 559, 584, 605.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἐκκλησίας, ἀλλὰ καὶ διὰ τὴν ἐσχάτως ἀπαραδειγμάτιστον αὐτοῦ ἀπείθειαν εἰς τὴν ἐκκλησιαστικὴν ἐπιταγὴν διὰ πατριαρχικῆς ἐπιστολῆς γεγραμμένης κατὰ τὸν παρελθόντα Δεκέμβριον, διδούσης αὐτῷ προθεσμίαν τριακονταμιᾶς ἡμέρας καὶ εἰδοποιούσης αὐτὸν ὅτι ἢν μὴ φανῇ κατὰ τὴν προθεσμίαν ταύτην ἀφεύκτως ἐξωσθήσεται τῆς ἐπαρχίας, εἰς ἣν καὶ ἀπεκρίνατο διὰ γράμματός τινος γεγραμμένου τῇ ιβ' Ἰανουαρίου ὅτι ἀδυνάτως ἔχει ὑπακοῦσαι πρὸς τὸ παρόν, ἀλλ' ἀντ' ἄλλων προφασιζόμενος, ὥστε καὶ ἀπελπισθέντων τῶν χριστιανῶν αὐτοῦ καὶ ἀναφερθέντων πρὸς τὸ κραταιὸν δεβλέτι ἐγένετο ὑψηλὴ ἔντονος διαμήνυσις περὶ τῆς ἐκπτώσεως αὐτοῦ, διά τοι τοῦτο....»—ἐξελέγη (Ἰανουάριος 1840) «ὁ πανιερ. μ. πρ. Σμύρνης κὺρ *Φερόθεος*», ὅστις παρέμεινε ποιμαίνων τὴν ἐπαρχίαν Πωγωνιανῆς μετὰ τὴν ἀπ' αὐτῆς ἀπόσπασιν καὶ μετὰ τῆς μ/λεως Ἰωαννίνων ἕνωσιν (1842) τῆς ἐπαρχίας Βελλᾶς[18].

—«Ἐπειδὴ ἡ ἁγιωτάτη ἐπισκοπὴ Βελλᾶς καὶ Κονίτσης, ἡ ἀνέκαθεν ἴδιον κεκτημένη ἀρχιερέα καὶ ὑποκειμένη τῇ ἁγιωτάτῃ μ/λει Ἰωαννίνων συνηνώθη μὲν πρό τινων χρόνων ἕνεκα καιρικῶν περιστάσεων τῇ ἁγιωτάτῃ ταύτῃ μ/λει καὶ διετέλεσιν ἐν τῷ μεταξὺ κυβερνωμένη ὑπὸ τῶν χρηματισάντων μ/τῶν Ἰωαννίνων, ἤδη δὲ μηδενὸς λόγου περιστάσεων ἢ ἀνάγκης τινὸς ὑπαγορευούσης τὴν προγεγονυῖαν ἐκείνην ἕνωσιν, κοινῇ ἐνθέρμῳ αἰτήσει τῶν ἐν αὐτῇ διατελούντων εὐσεβῶν χριστιανῶν καὶ συμφώνῳ συγκαταθέσει τοῦ πανιερωτ. καὶ θεοπροβλ. μ/του Ἰωαννίνων, ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Παρθενίου, ἀπεσπάθη ἀπὸ τῆς μ/λεως ταύτης καὶ εἰς τὴν ἀρχαίαν ἀνακέκληται ἐπισκοπικὴν τάξιν διὰ πράξεως πατριαρχ. καὶ συνοδικῆς, κατεστρωμμένης ἐν τῷ ἐκκλ/κῷ κώδικι, ἀξιοχρέου δὲ ἐκκλ/κῆς προνοίας γενομένης ὑπὲρ τῆς ἐν τῇ ἐπισκοπῇ ταύτῃ ἀποκαταστάσεως γνησίου καὶ κανονικοῦ ἀρχιερέως, περὶ ἧς καὶ ἡ αὐτοῦ ἱερότης, ὁ γνήσιος κυριάρχης αὐτῆς ἀνέθετο θερμῇ ἀξιώσει τὴν γνώμην αὐτοῦ τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ....»—ἐξελέγη (27 Μαΐου 1863) «ὁ ὁσιολογιώτ. ἐν ἱεροδιακόνοις κὺρ *Γερμανός*»[19].

*Γερμανοῦ* «παυθέντος διὰ τοὺς ἐν τοῖς συνοδικοῖς πρακτικοῖς ἐμφερομένους λόγους»—ἐξελέγη (10 Ἰανουαρ. 1876) «ὁ ὁσιολογ. ἀρχιμ. κὺρ *Βασίλειος*» γνώμῃ τοῦ μ. Ἰωαννίνων Σωφρονίου[20].

*Βασιλείου* «παραίτησιν οἰκειοθελῆ ὑποβαλόντος τῇ Ἐκκλησίᾳ»—ἐξελέγη *μ/της Βελλᾶς καὶ Κονίτσης* (22 Ἰουλίου 1899) «ὁ θεοφιλ. ἐπίσκοπος Ροδοστόλου κὺρ *Κωνσταντῖνος*»[21].

---

18) ΙΔ' 352.
19) ΚΒ' 439.
20) ΞΖ' 175.
21) Ϙια' 41.

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

*Κωνσταντίνου* «μετατεθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Τραπεζοῦντος»—ἐξελέγη (6 Ἰουλίου 1906) «ὁ πανοσιολογ. ἀρχιμανδρ. κύριος *Σπυρίδων Βλάχος*»[22].

*Σπυρίδωνος* «μετατεθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Ἰωαννίνων»—ἐξελέγη (24 Φεβρ. 1922) «ὁ θεοφιλ. ἐπίσκοπος Δωδώνης κύριος *Πανάρετος*»[23].

*Παναρέτου* «πρὸς Κύριον ἐκδημήσαντος» ἐξελέγη (23 Μαρτ. 1926) «ὁ πανιερ. μ. Ἴμβρου καὶ Τενέδου κύριος *Ἰωάννης*», ὀνομασθεὶς—τέλη Φεβρ. 1936—μητροπολίτης τῆς ἡνωμένης *μ/λεως Δρυϊνουπόλεως καὶ Κονίτσης*»[24].

## 4) ΒΟΥΘΡΩΤΟΝ

Ἀρχαιοτάτη ἐπισκοπή, ὑπαγομένη ἀρχικῶς τῇ μ/λει Νικοπόλεως καὶ ἀπὸ τοῦ ι΄. αἰῶνος τῇ τῆς Ναυπάκτου, μετὰ προσωρινὴν μόνον ὑπαγωγὴν τῇ ἀρχ/πῇ Βουλγαρίας—ἀπετέλεσεν ἀπὸ τοῦ 1431 μίαν τῶν ἐπισκοπῶν τῆς μ/λεως Ἰωαννίνων, γνωριζομένην συνήθως ὡς: *Βουθροντοῦ καὶ Γλυκέως*». Ἐρημωθείσης τῆς πόλεως Βουθρωτοῦ ἡ ἐπισκοπὴ μετήνεγκε τὴν ἕδραν αὐτῆς εἰς *Παραμυθίαν*, ἐντεῦθεν δὲ καὶ ἐπεκράτησε τὸ ὄνομα τῆς τελευταίας ταύτης ὡς τίτλος τῆς ἐπισκοπῆς, πιθανῶς ἀπὸ τοῦ τελευταίου τετάρτου τοῦ ιη΄. αἰῶνος[1].

*Πορφύριος* ἀναφερόμενος τῷ 1644[2]. Παραιτηθέντα διεδέχθη ὁ ἱερομόναχος

*Κύριλλος* τῇ 29 Μαρτίου 1645. Καθαιρεθεὶς ἠθῳώθη τῷ 1653[3].

*Παΐσιος*, τῇ 13 Ἰουνίου 1716[4].

*Παρθένιος*, ἀναφερόμενος τῷ 1730 καὶ 1760[5].

*Παΐσιος*, ψηφισθεὶς τῷ 1775 ἢ ὀλίγον μετ' αὐτὸ ὑπὸ τὸν τίτλον «Παραμυθίας καὶ Βουθρωτοῦ»[6].

*Σημ.* Συνέχειαν ὅρα ἐν τῷ ἐπισκοπικῷ καταλόγῳ Παραμυθίας.

---

22) Φια' 144.

23) Φια' 399.

24) Φαθ' 72.—*Ἐκκλησία* ΙΔ' 71.

1) Parthey σ. 15, 122, 218, 260.—Gelzer Ungedr. σ. 557, 635.—*τοῦ αὐτοῦ* Gyprii κλπ. σ. 78.—*τοῦ αὐτοῦ* der Patr. von Achrida σ. 4. — *P. καὶ Ποτλῆ* Ε'. 483.—*Π. Ἀραβαντ.* χρονογραφία τῆς Ἠπείρου Β'. 40.—*Δελτίον* ἱστορ. καὶ ἐθνολ. ἑταιρ., Γ'. 548.—Συνταγμάτιον *Χρυσ. Ἱεροσολ.* σ. 73. — *Ὀρθοδοξία* Γ'. 236.—*Ἠπειρ. Χρον* Γ'. 5. — *Μ. Ε. Ἐγκ.* Ζ' 604, Η'. 568, ΙΒ'. 343, ΙΘ'. 650. — *Νέα Σιὼν* 1931 σ. 598 —*Γ. Κονιδάρη* ὡς ἀνωτ. σ. 98.—Le Quien ΙΙ'. 139.

2) *Α. Κεραμέως* ἱεροσ. βιβλ. Α'. 350.—*Νομ. Συναγ.* σ. 155.

3) *Ν. Συναγ.* 155, 173.—*Σάθα* Μεσ. βιβλ. Γ'. 578, 589.

4) *Ρωμ. ὁ Μελῳδὸς* περιοδ. ὡς ἀνωτ. σ. 165, 179.

5) *Ἠπειρ. Χρον.* Ε'. 94.—*Κώδ.* Κριτίου.

6) *Ἠπειρ. Χρον.* Γ'. 156. —*Ἐκκλ. Ἑλ.* Δ'. 386.—*Σάθα* Νεοελλ. Φιλολ. σ. 482.—*Μ. Ε. Ἐγκ.* ΙΘ'. 400.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

## 5) ΓΗΡΟΜΕΡΙΟΝ

Κτίσμα τοῦ ὁσίου Νείλου τοῦ Ἐρυχιώτου (τέλη ιγ' ἢ ἀρχὰς ιδ'. αἰῶνος) ἡ ἱ. μονὴ τῆς Ὑπεραγίας Θεοτόκου ἐν Θεσπρωτίᾳ, ἡ ἐπιλεγομένη τοῦ *Γηρομερίου*, ἐτιμήθη διὰ σταυροπηγιακῆς ἀξίας γνωριζομένης ἀργότερον καὶ ὡς *πατριαρχικὴ ἐξαρχία* διὰ τῆς ὑπαγωγῆς τῇ πνευματικῇ δικαιοδοσίᾳ αὐτῆς τῶν γειτονικῶν χωρίων. Τὰ κατὰ τὴν ἐν λόγῳ ἱ. μονὴν καὶ ἐξαρχίαν κατωχυρώθησαν διὰ πατριαρχ. καὶ συνοδικῶν σιγιλλίων Ἱερεμίου Α'. (1533), Ἰωάσαφ Β'. (1561), Μητροφάνους Γ'. (1568), Παρθενίου Δ'. (1667), Ἱερεμίου Γ'. (1733) καὶ Σεραφεὶμ Β'. (Ἰούνιος (1759). Νεόφυτος Ζ'. ἀποκατέστησε τὴν ἐξαρχίαν εἰς ἰδίαν ὁμώνυμον ἐπισκοπὴν (Μάϊος 1800) συναριθμήσας αὐτὴν μεταξὺ τῶν λοιπῶν ἐπισκοπῶν τῆς μ/λεως Ἰωαννίνων. Καλλίνικος Ε'. (Ἰούνιος 1803) προσήρτησε τὴν ἐπισκοπὴν ταύτην τῇ ἐπισκοπῇ Παραμυθίας, ἀφ' ἧς ἀποσπάσας αὐτὴν Ἱερεμίας Δ'. ἀποκατέστησε καὶ αὖθις εἰς πατριαρχικὴν ἐξαρχίαν (Αὔγουστος 1809). Γρηγόριος Ε'. «λόγῳ ἐπιτροπικῆς διοικήσεως τῆς ἐξαρχίας Γηρομερίου» ἐπέτρεψε τὴν ἐκλογὴν ἀρχιερέως δι' αὐτὴν (Ἰανουάριος 1821). Ἰωακεὶμ Β'. συνήνωσε ταύτην τῇ ἐπαρχίᾳ Παραμυθίας (Μάϊος 1863), ἐξ ἧς ἀποσπασθεῖσα συνηνώθη καὶ αὖθις ὁριστικῶς αὐτῇ καὶ εἶτα τῇ τῶν Φιλιατῶν προσωρινῇ μ/λει καὶ εἶτα καὶ αὖθις τῇ Παραμυθίας γνωριζομένης μέχρι σήμερον ὑπὸ τὸ ὄνομα: *Παραμυθίας, Φιλιατῶν καὶ Γηρομερίου*[1].

***

### Σιγίλλιον βεβαιωτικὸν τῆς πατριαρχικῆς σταυροπηγιακῆς ἀξίας τῆς ἱ. μονῆς Γηρομερίου[2].

† *Σεραφείμ, ἐλέῳ Θεοῦ κλπ.*

Ἔθος σὺν ἄλλοις καὶ τοῦτο καθέστηκε τῇ κοινῇ μητρὶ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ ἐπικυροῦσθαι καὶ βεβαιοῦσθαι τὰ ἐπ' εὐλόγοις αἰτίαις προεκδοθέντα πατριαρχικὰ καὶ συνοδικὰ γράμματα καὶ τούτων μάλιστα τὰ πρὸς σύστασιν ἀφορῶντα ἐκκλησιαστικῶν καὶ σεβασμίων καταγωγίων· οὕτω γὰρ τὰ ἐκκλησιαστικὰ διασώζεται δίκαια καὶ διαμένει ἀπαρεγχείρητα. Ἔνθεν τοι καὶ ἡ μετριότης ἡμῶν τὴν καθόλου προστασίαν τῶν ἁπανταχοῦ ἁγίων ἐκκλησιῶν καὶ σεβασμίων σκηνωμάτων ἄνωθεν ἐγκεχειρισμένη ἀδιαλείπτως κατὰ πάντα καιρὸν τὰ προσκομιζόμενα πανταχόθεν παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ σιγιλλιώδη γράμματα ἐπικυροῦν διὰ νεωτέρων σιγιλλιωδῶν γραμμάτων καὶ τὴν ἀσφάλισιν αὐτοῖς τὸ

1) *Ἐκκλ. Ἀλ.* ΙΘ'. Κ'. 28, 29, ΚΔ'. 313, 471, ΚΖ'. 233, 360. *Μ. Γεδεὼν* Π. Πίν. 678, 679, 682.—*Μ. Ε. Ἐγκ.* Η' 333.

2) *Κώδ.* Π. Ἀρχ. Ε'. 153.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

γ′ εἰς αὐτὴν ἧκον χαρίζεσθαι. Ἐπειδὴ τοιγαροῦν ἐνεφανίσθη τῇ ἡμῶν μετριότητι συνοδικῶς προκαθημένῃ πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἐν μακαρίᾳ τῇ λήξει πατριάρχου κὺρ *Ἱερεμίου*, παραστατικὸν τῆς σταυροπηγιακῆς ἀξίας, αὐτονομίας τε καὶ ἐλευθερίας τοῦ ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τοῦ τιμωμένου ἐπ' ὀνόματι τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου καὶ ἐπονομαζομένου τοῦ Γηρομερίου μετὰ τῶν σκηνωμάτων καὶ ὑποκειμένων αὐτῷ χωρίων τῆς Φανερωμένης, τῆς Πρασίβιτζας, τῆς Κόνιτζας, τῆς Σαλλιάδος, τῆς Ζουπίτζας, τοῦ Ξέχωρα, τοῦ Τζιμπλοχωρίου, τοῦ Κοκκίνου Λιθαρίου, τῆς Σαράχοβας καὶ ἄλλων δύο πλησίον χωρίων τούτων, δι' ἧς σταυροπηγιακῆς ἀξίας διετέλεσε μέχρι τοῦδε διεξαγόμενόν τε καὶ ἐν ἐλευθερίᾳ διακυβερνώμενον μετὰ πάντων τῶν εἰρημένων χωρίων. Ἤδη δὲ οἵ τε ἐν αὐτῷ συνασκούμενοι ὁσιώτατοι πατέρες καὶ οἱ τῶν εἰρημένων χωρίων κάτοικοι χριστιανοὶ προσδραμόντες τῇ προνοίᾳ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἀναγγείλαντες τὰ κατ' αὐτούς, τήν τε δυστυχίαν τοῦ ἱεροῦ τούτου μοναστηρίου καὶ τὴν ἐρήμωσιν τῶν εἰρημένων χωρίων, ὡς πλειόνων καταπατηθέντων καὶ κατοικηθέντων ὑπὸ ἀλλοεθνῶν, ἐδεήθησαν θερμῶς τοῦτο μὲν ἀνανεωθῆναι τὴν σταυροπηγιακὴν ἀξίαν τοῦ εἰρημένου μοναστηρίου καὶ τῶν χωρίων διὰ νέου πατριαρχικοῦ ἡμῶν σιγιλλιώδους γράμματος, τοῦτο δὲ ἐγχαραχθῆναι ῥητῶς τὸ διωρισμένον ἀνέκαθεν ἐτήσιον ἐξαρχικὸν δικαίωμα, ὅπως μὴ ἔχωσιν οἱ κατὰ καιρὸν πατριαρχικοὶ ἔξαρχοι τοῦ μοναστηρίου τούτου ἀπαιτεῖν πλείονα τῶν διωρισμένων καὶ βίαν αὐτοῖς ὑπάγειν παρὰ τὸ δίκαιον. Ὧν τὴν αἰτίαν ὡς εὔλογον καὶ δικαίαν εὐμενῶς ἀποδεξάμενοι, ἅτε διὰ φροντίδος ἔχοντες διαφεντεύειν ὅση δύναμις τὰ ἱερὰ τοῦ Θεοῦ σκηνώματα καὶ χορηγεῖν αὐτοῖς προθύμως τὰ πρὸς σύστασιν καὶ διαμονὴν καὶ καλὴν καὶ θεάρεστον διεξαγωγὴν αὐτῶν συντείνοντα, γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ διαλυθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τὸ τιμώμενον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἐπονομαζόμενον τοῦ Γηρομερίου, μετὰ τῶν ἀνέκαθεν σκηνωμάτων καὶ ὑποκειμένων αὐτῷ χωρίων, δηλαδὴ τῆς Φανερωμένης, τῆς Πρασίβιτζας, τῆς Κόνιτζας, τῆς Σιλλιάδος, τῆς Ζουπίτσας, τοῦ Ξέχωρα, τοῦ Τζιμπλοχωρίου, τοῦ Κοκκίνου Λιθαρίου, τῆς Σαράχοβας καὶ ἄλλων δύο πλησίον τῶν εἰρημένων χωρίων, πρὸς δὴ καὶ τῶν εἰσοδημάτων, πραγμάτων τε καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσκτηθησομένων, ὡς ἀνέκαθεν διατελέσαν ὑπὸ τὴν προστασίαν τοῦ καθ' ἡμᾶς ἀποστολικοῦ οἰκουμενικοῦ θρόνου, κατὰ τὴν περίληψιν τοῦ εἰρημένου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους γράμματος, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον καὶ εἰς αἰῶνα ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται *πατριαρχικὸν σταυροπήγιον*, ἐλεύθερον, ἀδούλωτον, καὶ ἀκαταπάτητον καὶ ὅλως ἀνεπηρέαστον παρὰ παντὸς προσώπου,



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

μηδενὶ μηδὲν ὅλως ὀφεῖλον παρέχειν, εἰ μὴ εἰς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν τὸ διωρισμένον ἀνέκαθεν ἐτήσιον ἐξαρχικὸν δικαίωμα, ὑπάρχον γρόσια εἴκοσι, ὡς σημεῖον τῆς σταυροπηγιακῆς αὐτοῦ ἀξίας, μνημονευομένου ἐν αὐτῷ ἀενάως μόνον τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς νενόμισται, καὶ ὑπὸ μόνου τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου προστατευόμενον, κρινόμενόν τε καὶ ἐξεταζόμενον καὶ διακυβερνώμενον ἐν πάσαις αὐτοῦ ταῖς χρείαις καὶ μηδέποτε ἄδειαν ἔχῃ κατεπεμβαίνειν αὐτοῦ καὶ ἐνοχλεῖν καὶ ἐπηρεάζειν τοῖς ἐνασκουμένοις αὐτῷ πατράσι καὶ ζητεῖν παρ' αὐτῶν πολὺ ἢ ὀλίγον τι μέχρι καὶ ὀβολοῦ. Οἱ δὲ αὐτῷ συνασκούμενοι ὁσιώτατοι πατέρες ὀφείλουσι διάγειν εἰρηνικῶς καὶ φιλαδέλφως, κοσμίως τε καὶ εὐτάκτως, καὶ φροντίζειν τῆς αὐξήσεως καὶ βελτιώσεως τοῦ μοναστηρίου αὐτῶν, οἵτινες ἐν στερήσει ἡγουμένου γενόμενοι ἔχωσιν ἐκλέγειν ἐκ τῆς συνοδείας αὐτῶν τὸν κοινῇ ἀναφανέντα ἄξιον καὶ τοῦτον καθιστᾶν ἡγούμενον, ἀλλὰ καὶ ἐν χρείᾳ χειροτονίας γενόμενον προσκαλεῖν ὃν ἂν ἐθέλωσιν ἀρχιερέα ἐπὶ τὸ ἐκτελεῖν τὰς χειροτονίας αὐτοῦ μετὰ πάσης κανονικῆς παρατηρήσεως. Ὃς δ' ἂν ὀψέποτε τολμήσῃ ἀντιβῆναι τοῖς ἐν τῷ παρόντι συνταχθεῖσι καὶ βλάβην τινὰ προστρίψαι τῷ ἱερῷ τούτῳ μοναστηρίῳ ἢ τῆς σταυροπηγιακῆς αὐτοῦ καταπατῆσαι ἀξίας, ὁ τοιοῦτος ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ ἀφωρισμένος εἴη παρὰ Θεοῦ Κυρίου Παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ἔνοχος τῷ πυρὶ τῆς γεέννης. Ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα καὶ ἐδόθη τῷ ῥηθέντι σεβασμίῳ μοναστηρίῳ τοῦ Γηρομερίου.

*αψνθ' κατὰ μῆνα Αὔγουστον Ἰνδικτ. ζ'.*

† *Σεραφείμ*, ἐλέῳ Θεοῦ κλπ.

† Ὁ Ἡρακλείας *Γεράσιμος*, † Ὁ Κυζίκου *Γεράσιμος*

† Ὁ Ἀδριανουπόλεως *Διονύσιος*, † Ὁ Μιτυλήνης *Ἄνθιμος*,

† Ὁ . . . . . . . ., † Ὁ Γάνου καὶ Χώρας *Νεόφυτος*,

† Ὁ Χίου *Διονύσιος*, † Ὁ . . . . . ., † Ὁ Ἐλασσῶνος *Τιμόθεος*

*
* *

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008